βουλος εἴληφεν οὐσίας καὶ πεντεταλάντου καταλειφθείσης ῥᾳδίως. 20 Πατρῴων μὲν οὖν καὶ ἀδελφοῦ χρημάτων τὸ ἴσον αὐτοῖς ὁ νόμος μετασχεῖν δίδωσιν· ἀνεψιοῦ δέ, καὶ εἴ τις ἔξω ταύτης τῆς συγγενείας ἐστίν, οὐκ ἴσον, ἀλλὰ προτέροις τοῖς ἄρρεσιν τῶν θηλειῶν τὴν ἀγχιστείαν πεποίηκε. Λέγει γάρ « κρατεῖν δὲ τοὺς ἄρρενας καὶ τοὺς ἐκ τῶν ἀρρένων, οἳ ἂν ἐκ τῶν αὐτῶν ὦσι, κἂν γένει ἀπωτέρω τυγχάνωσιν ὄντες. » Ταύτῃ μὲν οὖν οὐδὲ μέρους λαχεῖν προσῆκε, Θρασυβούλῳ δὲ ἁπάντων, εἰ μὴ κυρίαν ἡγεῖτο εἶναι τὴν ἐμὴν εἰσποίησιν. 21 Ἐκεῖνος τοίνυν οὔτε ἐξ ἀρχῆς ἠμφεσβήτηκε πρὸς ἐμὲ οὐδὲν οὔτε νῦν δίκην εἴληχε περὶ αὐτῶν, ἀλλὰ ταῦτα πάντα καλῶς ἔχειν ὡμολόγηκεν· οἱ δ᾽ ὑπὲρ ταύτης πάντων ἀμφισβητεῖν τετολμήκασιν· εἰς τοῦτο ἀναιδείας ἐληλύθασι. Λαβὲ δὴ αὐτοῖς τοὺς νόμους, παρ᾽ οὓς ταῦτα πεποιήκασι, καὶ ἀνάγνωθι.

Νόμος

22 Ἐνταῦθα μὲν ὁμοίως καὶ ἀδελφὴ καὶ ἀδελφιδοῦς ἰσόμοιροι κατὰ τὸν νόμον εἰσίν. Λαβὲ δὴ καὶ τοῦτον καὶ ἀναγίγνωσκε αὐτοῖς.

⟨Νόμος⟩

Ἐὰν μὴ ὦσιν ἀνεψιοὶ μηδὲ ἀνεψιῶν παῖδες μηδὲ τοῦ πρὸς πατρὸς γένους ᾖ προσήκων μηδείς, τότε ἀπέδωκε τοῖς πρὸς μητρός, διορίσας οὓς δεῖ κρατεῖν. Λαβὲ δὲ αὐτοῖς καὶ τοῦτον τὸν νόμον καὶ ἀνάγνωθι.

Νόμος

23 Ταῦτα τῶν νόμων κελευόντων, ὁ μέν, ἀνὴρ ὤν, οὐδὲ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id414999851/111 UNIVERSITÄT LEIPZIG